ὅση ἡ ΑΒ εὐθεῖα πρὸς τὴν ΒΖ. οὕτως ἡ ΖΒ πρὸς τὴν ΒΝ· τὸ
ἄρα ὑπὸ τῶν ΑΒΝ ἴσον ἐστὶ τῷ ἀπὸ ΒΖ· ἐπεὶ δὲ ἴση
ἐστὶν ἡ ΑΛ τῇ ΛΚ. κοινὴ δὲ καὶ πρὸς ὀρθὰς ἡ ΛΝ. βά-
σις ἄρα ἡ ΚΝ βάσει τῇ ΑΝ ἐστὶν ἴση· καὶ γωνία ἄρα
ἡ ὑπὸ ΛΚΝ γωνίᾳ τῇ ὑπὸ ΛΑΝ ἐστὶν ἴση· ἀλλ' ἡ
ὑπὸ ΛΑΝ τῇ ὑπὸ ΚΒΝ ἐστὶν ἴση· καὶ ἡ ὑπὸ ΛΚΝ ἄρα
τῇ ὑπὸ ΚΒΝ ἐστὶν ἴση καὶ κοινὴ τῶν δύο τριγώνων
τοῦ τε ΑΚΒ καὶ τοῦ ΑΚΝ ἡ ὑπὸ ΝΑΚ· λοιπὴ ἄρα ἡ
ὑπὸ ΑΚΒ λοιπῇ τῇ ὑπὸ ΚΝΑ ἐστὶν ἴση· ἰσογώ-
νιον ἄρα ἐστὶ τὸ ΚΒΑ τρίγωνον τῷ ΚΝΑ τριγώνῳ·
ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΒΑ εὐθεῖα πρὸς ΑΚ. οὕ-
τως ἡ ΚΑ πρὸς τὴν ΑΝ· τὸ ἄρα ὑπὸ τῶν ΒΑΝ ἴ-
σον ἐστὶ τῷ ἀπὸ τῆς ΑΚ· ἐδείχθη δὲ καὶ τὸ ὑπὸ τῶν
ΑΒΝ ἴσον τῷ ἀπὸ τῆς ΒΖ· τὸ ἄρα ὑπὸ τῶν ΑΒΝ
μετὰ τοῦ ὑπὸ ΒΑΝ ὅπερ
ἐστὶ τὸ ἀπὸ τῆς ΒΑ. ἴσον
ἐστὶ τῷ ἀπὸ τῆς ΒΖ με-
τὰ τοῦ ἀπὸ τῆς ΑΚ· καὶ
ἐστὶν ἡ μὲν ΒΑ πεντα-
γώνου πλευρά· ἡ δὲ
ΒΖ ἑξαγώνου· ἡ δὲ
ΑΚ δεκαγώνου· ἡ ἄ-
ρα τοῦ πενταγώνου πλευ-
ρὰ δύναται τήν τε τοῦ
ἑξαγώνου καὶ τὴν τοῦ δεκαγώνου τῶν εἰς τὸν αὐτὸν κύ-
κλον ἐγγραφομένων· ὅπερ ἔδει δεῖξαι:-

ιγ' ἐὰν εἰς κύκλον ῥητὴν ἔχοντα τὴν διάμετρον πεντάγωνον
ἰσόπλευρον ἐγγραφῇ. ἡ τοῦ πενταγώνου πλευρὰ
ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων· εἰς γὰρ κύκλον
τὸν ΑΒΓΔΕ ῥητὴν ἔχοντα τὴν διάμετρον πεντά-
γωνον ἰσόπλευρον ἐγγεγράφθω τὸ ΑΒΓΔΕ· λέγω
ὅτι ἡ τοῦ ΑΒΓΔΕ πενταγώνου πλευρὰ ἄλογός ἐστιν
ἡ καλουμένη ἐλάσσων· εἰλήφθω γὰρ τὸ κέντρον τοῦ
κύκλου τὸ Ζ σημεῖον καὶ ἐπεζεύχθωσαν αἱ ΑΖ ΖΒ καὶ διή-
χθωσαν ἐπὶ τὰ Η Θ σημεῖα καὶ ἐπεζεύχθω ἡ ΑΓ· καὶ κεί-
σθω τῆς ΑΖ τέταρτον μέρος ἡ ΖΚ· ῥητὴ δὲ ἡ ΑΖ.
ῥητὴ ἄρα καὶ ἡ ΖΚ· ἐστὶν δὲ καὶ ἡ ΒΖ ῥητή· ὅλη ἄρα
ἡ ΒΚ ῥητή ἐστιν· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΑΓΗ περιφέρει-
α τῇ ΑΔΗ περιφερείᾳ· ὧν ἡ ΑΒΓ τῇ ΑΕΔ ἐστιν
ἴση· λοιπὴ ἄρα ἡ ΓΗ λοιπῇ τῇ ΗΔ ἐστὶν ἴση· καὶ
ἐὰν ἐπιζεύξωμεν τὴν ΑΔ. συνάγονται ὀρθαὶ αἱ πρὸς
τῷ Λ γωνίαι· καὶ διπλῆ ἡ ΓΔ τῆς ΓΛ· διὰ τὰ αὐτὰ
δὴ καὶ αἱ πρὸς τῷ Μ ὀρθαί εἰσιν καὶ διπλῆ ἡ ΑΓ τῆς ΓΜ·
ἐπεὶ οὖν ἴση ἐστὶν ἡ ὑπὸ ΑΛΓ γωνία τῇ ὑπὸ ΑΜΖ·
κοινὴ δὲ τῶν δύο τριγώνων τοῦ τε ΑΛΓ καὶ τοῦ ΑΜΖ
ἡ ὑπὸ ΛΑΓ· λοιπὴ ἄρα ἡ ὑπὸ ΑΓΛ λοιπῇ τῇ ὑπὸ
ΜΖΑ ἐστὶν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΓΛ τρίγωνον
τῷ ΑΜΖ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΛΓ
πρὸς ΓΑ. οὕτως ἡ ΜΖ πρὸς ΖΑ· καὶ τῶν ἡγουμένων
τὰ διπλάσια· ὡς ἄρα ἡ τῆς ΛΓ διπλῆ πρὸς
τὴν ΓΑ. οὕτως ἡ τῆς ΜΖ διπλῆ πρὸς τὴν ΖΑ· ὡς
δὲ ἡ τῆς ΜΖ διπλῆ πρὸς τὴν ΖΑ. οὕτως ἡ ΜΖ

